ePublishing

ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE

## Μακεδονικά

Τόμ. 1


ΜΑΚΕΔΟΝΙΚΑ

ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ ΕΤΑΙΡΕΙΑΣ ΜΑΚΕΔΟΝΙΚΩΝ ΣΠΟΥΔΩΝ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ



ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ

1940

# Δύο Πατριαρχικά Σιγίλλια Διονυσίου του Δ' και Γρηγορίου του Ε'

*Νικ. Π. Δελιάλης*

doi: 10.12681/makedonika.9121

Copyright © 2016, Νικ. Π. Δελιάλης

Άδεια χρήσης Creative Commons Attribution-NonCommercial-ShareAlike 4.0.

**Βιβλιογραφική αναφορά:**

Δελιάλης Ν. Π. (2017). Δύο Πατριαρχικά Σιγίλλια Διονυσίου του Δ’ και Γρηγορίου του Ε’. *Μακεδονικά*, *1*, 108–122. https://doi.org/10.12681/makedonika.9121

https://epublishing.ekt.gr | **e-Εκδότης:** EKT | **Πρόσβαση:** 08/05/2026 06:32:13

# ΔΥΟ ΠΑΤΡΙΑΡΧΙΚΑ ΣΙΓΙΛΛΙΑ
# ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ Δ΄ ΚΑΙ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ Ε΄

Μεταξὺ τῶν ἐν τῇ Δημοτικῇ Βιβλιοθήκῃ τῆς Κοζάνης ἀποκειμένων ἐγγράφων ὑπάρχουν καὶ δύο εἰς τὸ πρωτότυπον σωζόμενα πατριαρχικὰ σιγίλλια, ἐκ τῶν ὁποίων τὸ μὲν ἓν ἐξεδόθη ἐπὶ τῆς δευτέρας πατριαρχείας Διονυσίου τοῦ Μουσελίμη - Κομνηνοῦ τὸ 1676, τὸ δὲ ἕτερον ἐπὶ τῆς πρώτης πατριαρχείας τοῦ ἐθνομάρτυρος Γρηγορίου τοῦ Ε΄ τὸ 1798 [1]). Τὸ πρῶτον σιγίλλιον ἐδημοσίευσα τὸ 1938 εἰς τὸ « Ἡμερολόγιον Δυτικῆς Μακεδονίας » τόμ. 7ος, σελ. 23-26, ἐπανεκδίδω δὲ τοῦτο ἐνταῦθα μετά τινων διορθώσεων. Τὸ ἕτερον σιγίλλιον Γρηγορίου τοῦ Ε΄ δημοσιεύεται ἐνταῦθα διὰ πρώτην φοράν. Ἀμφοτέρων τῶν ἐγγράφων τούτων παρατίθενται πανομοιότυπα [2]).

## *1. Σιγίλλιον Πατριάρχου Διονυσίου τοῦ Δ΄ ἔτ. 1676*

Τὸ Σιγίλλιον τοῦτο ἀφορᾷ εἰς τὴν ἄλλοτε ἀκμάζουσαν σταυροπηγιακήν, πατριαρχικὴν γυναικείαν Μονὴν τῶν ἁγίων Θεοδώρων τῆς Ἐπισκοπῆς Σερβίων καὶ Κοζάνης, τὴν εὑρισκομένην νοτιοδυτικῶς τῶν Σερβίων [3]). Τὸ ἀκριβὲς ἔτος τῆς ἱδρύσεως τῆς Μονῆς ταύτης εἶναι ἄγνωστον εἰς ἡμᾶς, πρέπει

---

1. Πρβλ. Α. ΣΙΓΑΛΑ, Ἀπὸ τὴν πνευματικὴν ζωὴν τῶν κοινοτήτων τῆς Μακεδονίας. Α. Ἀρχεῖα καὶ βιβλιοθῆκαι Δυτικῆς Μακεδονίας (Θεσσαλονίκη 1939) σ. 69-70.

2. Ὀφείλω καὶ δημοσίᾳ νὰ εὐχαριστήσω ἐνταῦθα τὸν καθηγητὴν κ. Α. Σιγάλαν, ὅστις εἶχε τὴν καλωσύνην νὰ διεξέλθῃ τὴν ἐργασίαν μου ταύτην ἐν χ / φῳ καὶ νὰ συντελέσῃ οὕτω εἰς τὴν ἐπιμελεστέραν ἔκδοσιν τῶν κατωτέρω κειμένων.

3. Περὶ τῆς Μονῆς τῶν Ἁγ. Θεοδώρων πρβλ. ἐπίσης: Μ. ΓΕΔΕΩΝ, Πατριαρχικοὶ Πίνακες σελ. 600. Α. ΞΥΓΓΟΠΟΥΛΟΥ, Περὶ τῆς ἱστορίας τῶν βυζαντινῶν μνημείων τῶν Σερβίων, ἐν Ἐπ. Ετ. Βυζ. Σπ. τόμ. 14 σελ. 566. Π. ΛΙΟΥΦΗ, Ἱστορία τῆς Κοζάνης σελ. 37. ΡΑΛΛΗ — ΠΟΤΛΗ, Σύνταγμα, τόμ. 5 σελ. 120. Ν. ΔΕΛΙΑΛΗ, Χριστιανικὰ μνημεῖα Δυτ. Μακεδονίας, Ἐφημ. « Ἠχὼ » Κοζάνης ἀριθ. 943 (9. Νο. 1930). *Τοῦ αὐτοῦ*, Ἠπειρωτικαὶ σημειώσεις, ἐν «Ἠπειρ. Χρονικά» τόμ. 7 σ. 246. Μ. ΚΑΛΙΝΔΕΡΗ, Σημειώματα ἱστορικὰ ἐκ τῆς Δυτ. Μακεδονίας σελ. 16. Γ. ΓΚΟΥΡΟΜΙΧΟΥ, Τὰ Σέρβια, ἐν Ἡμερ. Δυτ. Μακεδονίας 1932 σελ. 193. Ν. ΚΑΖΑΚΙΔΗ, Τὰ Σέρβια, ἐν Λεύκ. τοῦ νομοῦ Κοζάνης σελ. 107. Κ. ΓΟΥΝΑΡΟΠΟΥΛΟΥ, Κοζανικά, ἐν Πανδώρᾳ 22 (1872) σελ. 494. Θ. ΠΑΠΑΘΑΝΑΣΙΟΥ, Τὸ μεσαιωνικὸν φρούριον τῶν Σερβίων σελ. 25.

ὅμως νὰ τὴν ἀναγάγωμεν εἰς τὴν βυζαντινὴν ἐποχήν, διότι μνεία ταύτης γίνεται ἐπὶ τῆς ἐποχῆς τοῦ αὐτοκράτορος Μανουὴλ Α' τοῦ Κομνηνοῦ, ἤτοι κατὰ τὸν 12ον αἰῶνα. Ἀλλὰ καὶ τὸ ἔτος τῆς διαλύσεως τῆς Μονῆς μᾶς εἶναι ἄγνωστον. Κατὰ τὴν παράδοσιν ὑπῆρχεν αὕτη πρὸ διακοσίων περίπου ἐτῶν, σήμερον δυστυχῶς σώζεται μόνον μικρά τις ἐκκλησία τῆς Μονῆς, ἐσωτερικῶς πλήρης διακεκοσμημένη ὑπὸ τοιχογραφιῶν, τὰς ὁποίας πρό τινος ἐμελέτησεν ὁ ἄλλοτε Ἔφορος τῶν βυζαντινῶν ἀρχαιοτήτων τῆς Ἑλλάδος, νῦν δὲ καθηγητὴς τοῦ Πανεπιστημίου Θεσσαλονίκης κ. Ἀνδρέας Ξυγγόπουλος, ὁμοῦ μετὰ τῶν λοιπῶν παλαιῶν ἐρειπωμένων ἐκκλησιῶν καὶ κάστρων τῆς περιοχῆς Σερβίων.

Διὰ τοῦ σιγιλλίου τούτου κατοχυροῦνται τὰ τοῦ κοινοβιακοῦ βίου τῶν ἐν αὐτῇ κατὰ τὸ 1676 μοναζουσῶν καὶ «ἥ τε κινητὴ καὶ ἀκίνητος αὐτῶν περιουσία». Ὡς εἴπομεν, τὸ σιγίλλιον τοῦτο σώζεται εἰς τὸ πρωτότυπον καὶ ἐπὶ περγαμηνῆς καταληγούσης εἰς γλῶσσαν στρογγύλην μετὰ γωνιώδους προεξοχῆς διαστάσεων δὲ 0,51 πλάτ. X 0,59 ὕψ. Τὸ κείμενον καταλαμβάνει 24 στίχους (μετὰ τῆς πατριαρχικῆς ὑπογραφῆς καὶ τοῦ πρωτοκόλλου 26). Τῆς ὑπογραφῆς τοῦ Πατριάρχου ἕπονται αἱ ὑπογραφαὶ 21 Ἀρχιερέων. Τὸ μολυβδόβουλλον σώζεται, ἔχει δὲ διάμετρον 0,045 ἑκ. καὶ κρέμεται διὰ δεσμίδος μεταξωτῆς κλωστῆς χρώματος κυανοῦ ἐπὶ τῆς γλώσσης τοῦ σιγιλλίου δι' ὀπῶν ἓξ διερχομένης. Ἐπὶ τῆς μιᾶς πλευρᾶς τοῦ μολυβδοβούλλου ὑπάρχει, ὡς συνήθως, ἡ εἰκὼν τῆς Παναγίας μετὰ τοῦ βρέφους Χριστοῦ, ἐπὶ δὲ τῆς ἄλλης παρόμοιον τῆς ὑπογραφῆς τοῦ Πατριάρχου Διονυσίου κείμενον. Ἐξεδόθη κατὰ τὴν δευτέραν πατριαρχείαν τοῦ πεντάκις εἰς τὸν πατριαρχικὸν θρόνον Κωνσταντινουπόλεως ἀνελθόντος (1671-1673, 1676-1679, 1683-1684, 1686-1687, 1693-1694) Διονυσίου τοῦ Μουσελίμη-Κομνηνοῦ.

## *Κείμενον*

† Διονύσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

*† Πολλοῖς προνομίοις, καὶ προτερήμασιν ὁ οἰκουμενικὸς ἀνέκαθε κατακεκόσμηται θρόνος, ἅτε δὴ οἰκουμενικός, καὶ πάντων τῶν ἄλλων ὑπέρτατος, ἀλλὰ κἂν τούτῳ ἐξαιρέτως προσαποκεκλήρωται τὸ [βρα] | βραβεύειν δηλονότι κατ' ἐξουσίαν, καὶ ἐπ' ἀδείας ἐλευθεριότητα τοῖς καταπονουμένοις μοναστηρίοις, καὶ κατατρυχομένοις, εἴτε τῇ τοῦ καιροῦ ἀνωμαλίᾳ, εἴτε καὶ τοῖς πλησιοχωροῦσιν ἐπιστάταις, καὶ τὸ προνοοῖσθαι τῆς βελτιώσεως αὐτῶν, καὶ συστάσεως ἐφ' ᾧ τὰ ὑπὸ εὐσεβείας, καὶ εὐλαβείας ὅτι πλείστης ἀνοικοδομηθέντα ἱερὰ καταγώγια, μὴ τὴν ἀλωὴν ἀμοιροῦντα φροντίδος, ἐρείπια γίγνοιντο. Ὅθεν καὶ | τὸ ἱερὸν μοναστήριον τὸ κατὰ τὴν ἐπαρχίαν τῆς Ἐπισκοπῆς Σερβίων τιμώμενον*

*ἐπ' ὀνόματι τῶν ἁγίων Θεοδώρων τοῦ Διονυσίου τοῦ Σιδέρη, τετιμημένον τῷ πατριαρχικῷ ὀνόματι, τουτέστι σταυροπήγιον ὄν, γράμμασι συνοδικοῖς πατριαρχικοῖς τῶν πρὸ | ἡμῶν ἀοιδήμων πατριαρχῶν, ᾧ σχολάζουσι καλογραῖαι προσευχαῖς καὶ νηστείαις προσέχουσαι, ἀποταξάμεναι τῷ κόσμῳ, καὶ πρὸς τὸν μονήρη βίον ἀνατρέχουσαι τετιμημένως, καὶ εὐαγῶς διάγουσαι καὶ πάνυ σεμνῶς | καὶ θεαρέστως πολιτευόμεναι, ἤδη δὲ τούτου τοῦ σεβασμίου μοναστηρίου εἰς ἔνδειαν δυνάμεως καταντήσαντος, καὶ καταπονουμένου καὶ χειρὸς δεομένου πατριαρχικῆς, πρὸς καταρτισμόν, καὶ συμπλήρωσιν τῆς | ἀσθενείας τῶν ἐνασκουμένων θεοσεβῶν γυναικῶν, ὅπως μὴ ἐνωχλοῖντο ὑπό τινων, σφαδαζόντων τὴν τῶν καλῶν ἀνατροπήν· ἡ μετριότης ἡμῶν ἅτε τῆς περιωπῆς τοῦ οἰκουμενικοῦ θρόνου ἐντετυχηκυῖα | καὶ ὅση δύναμις συνιστᾶν τὰ συστάσεως δεόμενα ἐγνωκυῖα, ὡς λόγον ὑφέξουσα περὶ πάντων τῶν θεόθεν αὐτῇ ἐμπεπιστευμένων οὐ μόνον γυναιξὶν ἀλλὰ καὶ αὐτοῖς ἀνδράσιν, καλὸν παρά- | δειγμα γιγνομένων, ἀλλ' ὅτι καὶ ἁπλῶς δεόμενον χειρὸς βοηθείας, ἀπεφήνατο διὰ γράμματος ἡμετέρου πατριαρχικοῦ σιγιλλιώδους συστῆσαι τὸ εὐαγὲς τοῦτο μοναστήριον, καὶ βεβαιῶσαι | ἐφ' ᾧ τῶν βασκανόντων τὰς τοιαύτας ἀγαθοεργίας ἀνατροπήν τινα μηχανήσαιτο, (καὶ γὰρ εἴωθε τοῦτο ὡς τὰ πολλὰ γίγνεσθαι)· τούτου χάριν καὶ γράφουσα ἐν ἁγίῳ ἀποφαίνεται | πν(εύματ)ι μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πν(εύματ)ι ἀγαπητῶν αὐτῆς ἀδελφῶν, καὶ συλλειτουργῶν, ἵνα τοῦ διαλειφθέντος τούτου μοναστηρίου τοῦ κατὰ τὴν ἐπαρχί | αν τῆς ἐπισκοπῆς Σερβίων, τοῦ τιμωμένου ἐπ' ὀνόματι τῶν ἁγίων Θεοδώρων τοῦ Διονυσίου τοῦ Σιδέρη ὄντος, καὶ ἐπιλεγομένου, πατριαρχικοῦ σταυροπηγίου, καὶ τοῖς σταυροπηγιακοῖς προνομίοις σεμνυνομένου, ὡς τὰ | παλαιγενῆ τῶν ἀοιδήμων πατριαρχῶν γράμματα διαλαμβάνουσιν, ἕως οὗ ὁ ἥλιος τὸν ἴδιον διατρέχει κύκλον, αἱ ἐν αὐτῷ εὑρισκόμεναι μονάζουσαι καλογραῖαι. Ὥσπερ ἐξ ἀρχῆς εἴθι | σται ζῆν κοινοβιακῶς καθὰ καὶ ἕτερα μοναστήρια, καὶ μηδὲν ἴδιον ἔχειν, καὶ φροντίζειν τῆς συμπνοίας καί, ὁμονοίας ἀλλήλων, καὶ αἱ λοιπαὶ πᾶσαι ὑποτάσσεσθαι τῇ προεστώσῃ, ἵνα φυλάττοιτο τά | ξις, τὸ γὰρ ἄτακτον πανταχοῦ λυπηρόν, καὶ μηδὲν πράττειν ἄνευ γνώμης, καὶ θελήσεως ἐκείνης, ἐξελθούσης δὲ τοῦ βίου τῆς προεστώσης, πάλιν ἐκλέγεσθαι ἀπὸ τούτων τὴν ἐπισημοτέραν κατ' ἀρε- | τήν, καὶ ἀποκαθίστασθαι προεστῶσαν καὶ διοικεῖσθαι μετ' ἀλλήλων ἄνευ ἔριδος, καὶ φιλονεικίας, καὶ τὰ πράγματα τῶν ἐνασκουμένων ἐν αὐτῷ μοναζουσῶν, ὅσα εἰσήνεγκον φέρουσαι | κινητὰ καὶ ἀκίνητα, καὶ ὅσα ὑπὸ τὴν δεσποτείαν αὐτῶν ἔχουσιν, ἀναφαίρετα εἴησαν, καὶ ἀναπόσπαστα μετὰ θάνατον ἐκείνων, ὡς ἅπαξ προσηλωθέντα, καὶ ἀφιερωθέντα | τῷ σταυροπηγίῳ τούτῳ παρὰ παντὸς προσώπου συγγενικοῦ τούτων, μηδενὸς ἄδειαν ἔχοντος τῶν πάντων, ἱερωμένου, ἢ λαϊκοῦ, ἄρχοντος, ἢ ἀρχομένου, τῶν ἐγχωρίων, καὶ ἐμπολιτευο | μένων ζητεῖν παρ' αὐτῶν δικαίωμα αὐθεντικόν, διὰ τὰ προσόντα αὐτῷ ὑποστατικὰ κινητὰ ἢ ἀκίνητα, καὶ ἐνοχλεῖν αὐτὰς σχολαζού-*



Σιγίλλιον Διονυσίου τοῦ Δ΄ ἔτ. 1676

*σας τῇ προσευχῇ, καὶ ταῖς δεήσεσιν, ἢ | ἀποστερεῖν τι τούτων, καὶ ἀφαρπάζειν, ἢ κατεπεμβαίνειν τοῦ σταυροπηγίου τούτου, τοῦ ἤδη ἀρχιερατεύοντος κατὰ τόπον καὶ τῶν μετέπειτα, καὶ ζητεῖν παρ' αὐτῶν τι πολύ, ἢ ὀλίγον ἀσύνηθες, ὡς | πάντῃ ἐλευθέρου ὄντος, καὶ ἀσυδότου, καὶ ἀκαταπατήτου καὶ ἀκαταζητήτου, παρὰ παντὸς προσώπου, μόνου τοῦ ἡμετέρου μνημονευομένου ὀνόματος, καὶ μηδενὸς ἄλλου, ἐν πάσαις ταῖς ἱεραῖς | τελεταῖς, καὶ ἀκολουθίαις. ὅστις δὲ τὰ ἐναντία φρονεῖ τῶν ὧν ἀπεφηνάμεθα, περὶ τούτου τοῦ σταυροπηγίου καὶ ἀνατροπὴν τούτων προξενήσῃ, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ τοῦ παντοκράτορος | καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος, αἰωνίως, αἱ πέτραι, τὰ ξύλα, ὁ σίδηρος λυθήσονται, αὐτὸς δὲ οὐδαμῶς, καὶ ἔξω τῆς τοῦ Χριστοῦ ἐκκλησίας. ὅθεν καὶ | εἰς βεβαίωσιν γέγραπται τὸ παρὸν ἐν μεμβράναις σιγιλλῶδες γράμμα καὶ προσανέθετο τῷ σεβασμίῳ τούτῳ σταυροπηγίῳ ἐν ἔτει σ(ωτη)ρίῳ ͵αχος', μηνὶ νοεμβρίῳ, ἰν(δικτιῶνος) ιε.*

***† Διονύσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.***

*† Ὁ Λέρκων Μακάριος*
*† Ὁ Ἀμασείας Γεράσιμος*
*† Ὁ Νικαίας Σωφρόνιος*
*† Ὁ Δρύστρας Διονύσιος*
*† Ὁ Λιτίστης Θεοδόσιος*
*† Ὁ Διδυμοτείχου Γρηγόριος*
*† Ὁ Προύσης Καλλίνικος*
*† Ὁ Νικομηδείας Νεόφυτος*
*† Ὁ Θεσσαλονίκης Μελέτιος*
*† Ὁ Εὐρίπου Μελέτιος*
*† Ὁ Σμύρνης Μακάριος*
*† Ὁ Χαλκηδόνος Ἱερεμίας*
*† Ὁ Σοφίας Μελέτιος*
*† Ὁ Αἴνου Ματθαῖος*
*† Ὁ Σερρῶν Νεκτάριος*
*† Ὁ Λαρίσσης Ἰωάννης*
*† Ὁ Βιζύης Γεράσιμος*
*† Ὁ Κορίνθου Ζαχαρίας*
*† Ὁ Ἡρακλείας Βαρθολομαῖος*

## 2. Σιγίλλιον Πατριάρχου Γρηγορίου τοῦ Ε' ἔτ. 1798[1])

Τὸ σιγίλλιον τοῦτο ἐξεδόθη κατὰ τὸ τελευταῖον ἔτος τῆς πρώτης πατριαρχείας τοῦ ἐθνομάρτυρος Γρηγορίου τοῦ Ε' τὸ 1798, ἀφορᾷ δὲ εἰς τὴν Μονὴν τῆς Ἁγίας Τριάδος (Ἱλαρίωνος ἢ Λαριοῦς), ἥτις εὑρίσκεται ἐντεῦθεν καὶ παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ Ἀλιάκμονος, ὄχι δὲ μακρὰν τοῦ σημερινοῦ χωρίου Αἰανὴ καὶ εἰς ἀπόστασιν εἴκοσι περίπου χιλιομέτρων ΝΑ τῆς πόλεως Κοζάνης. Δι' αὐτοῦ ἀνανεοῦνται καὶ ἐπικυροῦνται προγενέστερα πα-

1. Τὸ σιγίλλιον τοῦτο δὲν μνημονεύεται ὑπὸ τοῦ Μ. ΓΕΔΕΩΝ, Πατριαρχικοὶ Πίνακες, οὔτε δὲ καὶ ὑπὸ τοῦ Τάκη Κανδηλώρου εἰς τὸ βιβλίον του «Γρηγόριος ὁ Ε'».

τριαρχικὰ σιγίλλια, ἐκδοθέντα διὰ τὴν αὐτὴν Μονὴν ὑπὸ τῶν πατριαρχῶν Σεραφεὶμ Β' (1761) καὶ Νεοφύτου Ζ' (1794).



Σιγίλλιον Γρηγορίου τοῦ Ε' ἐτ. 1798

Καὶ τῆς Μονῆς ταύτης τὸ ἔτος τῆς ἱδρύσεως εἶναι εἰς ἡμᾶς ἄγνωστον. Ἡ παλαιὰ Βασιλικὴ μετὰ τρούλλου τῆς Μονῆς ἦτο ἀρχιτεκτόνημα τῶν τελευταίων χρόνων τῆς Βυζαντινῆς περιόδου ἐσώζετο δὲ πλὴν τοῦ τρούλλου μέχρι τοῦ 1908, ὅτε τὸ πρῶτον τὴν ἐπεσκέφθην. Ἡ παράδοσις παρὰ τοῖς μοναχοῖς ὅτι ἐν αὐτῇ ἱερούργησε δυτικός τις κληρικὸς φαίνεται ὅτι συνέβαλεν

ὥστε νὰ ἐγκαταλειφθῇ αὕτη καὶ σὺν τῷ χρόνῳ νὰ ἐρειπωθῇ [1]). Ἀντ' αὐτῆς καὶ πλησίον αὐτῆς εἰς τὸ μέσον τῆς ὅλης Μονῆς ἀνηγέρθη κατὰ τὸ ἔτος 1861 ἡ νῦν ὑφισταμένη ἐκκλησία, ὡς ἐμφαίνεται ἐκ σουλτανικοῦ τινος φιρμανίου τῆς 26ης Ὀκτωβρίου 1861, ἐναποκειμένου εἰς τὴν Δημοτικὴν Βιβλιοθήκην Κοζάνης [2]).

Τὸ σιγίλλιον εἶναι ἐπίσης ἐπὶ περγαμηνῆς γραμμένον, διατηρουμένης καλῶς καὶ ἐχούσης διαστάσεις 0,52 πλάτ. × 0,54 ὕψ. Ἡ βοῦλλα δὲν σώζεται σήμερον. Τὸ κείμενον καταλαμβάνει 49 στίχους, μετὰ τοῦ πρωτοκόλλου καὶ τῆς ὑπογραφῆς τοῦ Πατριάρχου ἐν ὅλῳ 51. Τὴν πατριαρχικὴν ὑπογραφὴν ἀκολουθοῦν αἱ ὑπογραφαὶ ἕνδεκα Μητροπολιτῶν. Ἐπὶ τοῦ νώτου τῆς περγαμηνῆς ὑπάρχει τὸ ἑξῆς σημείωμα ὑπ' ἄλλης χειρός: Τῷ ἐπισκόπῳ Σερβίων τῆς ζωοποιοῦ Τριάδος.

## *Κείμενον*

† Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

*† Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα πολλὴν ἔχουσι τὴν χάριν παρὰ Θεοῦ, καὶ τὸ ἔλεος μέγιστον. Ὅσα δὲ τοὐναντίον παραβαί | νει τῶν ὅρων ἐκτρεπόμενα, ἐν τούτοις προφανὴς ἡ ἀκοσμία, κατάδηλος ἡ φθορά, καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια. εἰ γὰρ καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ πε | ρὶ τῶν σταυροπηγιακῶν μοναστηρίων τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ ἀπαράτρεπτοι διαφυλάττοιντο, καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν | ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν. ἀλλ' ἐπειδή, οὐκ οἴδαμεν ὅπως, τῶν ἱερῶν παρημελημένων νόμων, εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ ἐλεεινὴν | ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου τουτουῒ σκάφους, ἔδοξε παρὰ τοῖς ἄλλοις καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι ἐφορῶσι | πρὸς τὸ ἐκείνων συμφέρον, ὡς μέλη γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ τῷ σταυροπηγιακῷ καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα. ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρουσιν | ἀλλ' ἀρχαίους ἀνανεου-*

---

1. Διὰ διατάγματος δημοσιευθέντος εἰς τὴν Ἐφημερίδα τῆς Κυβερνήσεως, τεῦχ. Α', ἀριθ. φύλ. 225 σελ. 1459, προσηρτήθη ἡ Μονὴ αὕτη τὸ 1925 εἰς τὴν πέραν τοῦ Ἀλιάκμονος κειμένην Μονὴν Ζιδανίου.

2. Πρβλ. Α. ΣΙΓΑΛΑ, ἔνθ' ἀνωτ. σελ. 91, 16.

*μένοις καὶ γεραρούς. τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ θεῖοι καὶ ἱεροὶ νόμοι καὶ κανόνες, τὸν τοῦ Θεοῦ φόβον προτίθεσθαι διακελευόμενοι. ἵνα, | εἴγε δέοιντο, καὶ αὐτοὶ ἀπολαμβάνωσιν, ὃν τρόπον ὁ λη΄ος τῶν ἁγίων ἀποστόλων κανών, καὶ ὁ κε΄ος τῆς ἐν Ἀντιοχείᾳ Ἱερᾶς Συνόδου, καὶ τῆς ἐν Χαλκηδόνι, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ, ὅ τε ιε΄ος καὶ ὁ ιβ΄ος καὶ τῆς ἐν Ἀγκύρᾳ | ὁ ιε΄ος καὶ ὁ μθ΄ος τῆς ἐν Τρούλλῳ, καὶ ἄλλοι πλεῖστ᾽ ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες, σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴ | γε δέοιντο εἰς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε, καὶ ὡς Θεοῦ ἐφορῶντος ποιεῖσθαι, ἵνα προστατεύωσιν αὐτῶν, καὶ οἰκονόμους, καὶ ἐπιτρόπους, καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς, καλῶς | περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι᾽ ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις. οἱ δὲ οἰκονόμοι, ἡγούμενοί τε καὶ ἐπίτροποι διαμένουσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπι | σκόπων, καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πωλῶσι μοναστηριακόν τι κτῆμα, ἀλλ᾽ οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν, ὅπως μὴ καὶ αὐτοὶ ὡς ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανό | νας, βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. Ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων· τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς προσηκούσης | ἀρχιερατικῆς ὡς εἰκὸς ἐπ᾽ αὐξήσει τυγχάνει ἐπιμελείας, μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα, οὐκ οἴδαμεν ὅπως, πρὸ χρόνων πολλῶν παρημέληται· καὶ δέον, ὡς Θεοῦ ἐφορῶντος, διοικεῖσθαι αὐτά, καὶ ἐκ | παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι, ὅπως αὐτοῖς τῶν ἀγαθῶν τὰ μὲν ὑπάρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν· τῶν δὲ φαύλων, τὰ μὲν προσόντα ἀποδιοπομπεῖται, τὰ δὲ συμβη | σόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν πάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλλομεν, ἐκθέμενοι κατὰ κοινὴν γνώμην, καὶ συνοδικὴν διάγνωσιν, ἱερὸν | τόμον ἀποφαινόμενοι συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις, περὶ τῆς εἰς τὸ ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου, καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων π(ατέ)ρων, καὶ τῆς δυνατῆς ἂν | τιλήψεως, καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικά, καὶ συνοδικὰ αὐτῶν σιγγίλια δωρεάν, καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπη | γιακὰ αὐτῶν προνόμια, εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενα ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως. ὡς καὶ περὶ τοῦ ἐν τῇ ἐπισκοπῇ Σερβίων καὶ Κοζάνης, τῇ ὑποκειμένῃ τῇ ἁγιωτάτῃ μητρο | πόλει Θεσσαλονίκης ἱεροῦ καὶ σεβασμίου μοναστηρίου, τοῦ σεμνυνομένου ἐπ᾽ ὀνόματι τῆς ὑπερουσίου καὶ ζωοποιοῦ τριάδος, μετὰ τοῦ ἐν τῇ ἀρχιεπισκοπῇ Ἐλασσῶνος μετοχίου αὐτοῦ, τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου*

*τοῦ μεγάλου. ἐνεφα | νίσθησαν γὰρ ἤδη ἡμῖν δύω πατριαρκικά, συνοδικὰ σιγιλλιώδη γράμματα Σεραφεὶμ*[1]) *τε καὶ Νεοφύτου*[2]), *περιέχοντα ὅτι Διονύσιός τις μοναχὸς ἀνήγειρε τὸ εἰρημένον μοναστήριον, ἀναθέμενος τὸ ἐν τῇ ἀρχιεπισκοπῇ Ἐλασσῶνος μο | νίδριον τοῦ ἁγίου Ἀντωνίου*[3]) *εἰς μετόχιον τοῦ ἐν τῇ ἐπισκοπῇ Σερβίων μοναστηρίου τῆς ἁγίας τριάδος. εἰς ἀνακαίνισιν οὖν τούτου γράφοντες διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ, καὶ συνοδικοῦ σιγγιλιώδους γράμματος, ἀποφαινό | μεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τὸ σεμνυνόμενον ἐπ᾽ ὀνόματι τῆς | ὑπερουσίου καὶ ζωοποιοῦ τριάδος, τὸ ἐν τῇ ἐπισκοπῇ Σερβίων καὶ Κοζάνης, τῇ ὑποκειμένῃ τῇ ἁγιωτάτῃ μητροπόλει Θεσσαλονίκης*[4]), *μετὰ τοῦ ἐν τῇ ἀρχιεπισκοπῇ Ἐλασσῶνος μετοχίου αὐτοῦ, τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου, | καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρό | νον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται, ἡμέτερον πατριαρχικόν, σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον, καὶ ὅλως ἀνενόχλητον παρ᾽ οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ | τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, ἔχον καὶ τὸ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ᾽ ἐκκλησίαις μανδύαν προχειριζόμενον καὶ πατερίτζαν. | καὶ πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας. δεύτερον δὲ λόγῳ ὑποταγῆς ἀποδιδῷ καθ᾽ ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια ἑκατὸν πεντήκοντα εἰς τὸ κοινὸν τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκ | κλησίας, καὶ λαμβάνῃ ἐξοφλητικὴν ἀπόδειξιν κατὰ τὸ ὕφος τῶν ἐπαρχιῶν. καὶ οὕτως ἀναλαβὸν τὸ*

---

1. Βλ. Μ. ΓΕΔΕΩΝ, Πατριαρχικοὶ πίνακες, σελ. 649, 653.

2. Πρβλ. ΔΙΟΝ. ΖΑΚΥΘΗΝΟΥ, Ἀνέκδοτα πατριαρχικὰ ἔγγραφα τῶν χρόνων τῆς Τουρκοκρατίας. «Ἑλληνικὰ» 6 (193) σελ. 137 - 140.

3. Τὸ πρώην μετόχιον ἐξειλίχθη βραδύτερον εἰς μονὴν τοῦ Ἁγίου Ἀντωνίου, κεῖται δὲ παρὰ τὰς ὑπωρείας τοῦ ὄρους Σιάπκα τῆς ὀροσειρᾶς τῶν Πιερίων (ὑψόμ. 1595) εἰς ἀπόστασιν 15 περίπου χιλιομέτρων ΝΑ τῆς πόλεως τῶν Σερβίων καὶ ὑπάγεται εἰς τὴν ἁρμοδιότητα τῆς Μονῆς Ὀλυμπιωτίσσης, τῆς Μητροπόλεως Ἐλασσῶνος. (Βλέπε Ἐπετηρίδα Βυζαντινῶν σπουδῶν, τόμ. Δ΄ σελ. 315 κ. ἑ.).

4. Περὶ τῆς Ἐπισκοπῆς καὶ Μητροπόλεως Σερβίων καὶ Κοζάνης πρβλ. ΡΑΛΛΗ - ΠΟΤΛΗ, Σύνταγμα τῶν θείων κανόνων, τόμ. Ε΄ σελ. 478. ΧΡΥΣΑΝΘΟΥ (Νοταρᾶ) Πατριάρχου Ἱεροσολύμων, Συνταγμάτιον περὶ τῶν ὀφφικίων κ.λ.π., Βενετία, 1778, σελ. 72. Γ. Ι. ΠΑΠΑΔΟΠΟΥΛΟΥ, Ἡ σύγχρονος ἱεραρχία, σελ. 79. Π. Ν. ΛΙΟΥΦΗ, Ἱστορία τῆς Κοζάνης, σελ. 51, 115. «ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΑΛΗΘΕΙΑ» τόμ. 2 σελ. 473 καὶ 687. «ΠΑΝΕΛΛΗΝΙΟΝ ΛΕΥΚΩΜΑ», (ἔκδοσις Ἰ. Χατζηϊωάννου) τόμ. 4΄, σελ. 231, τόμ. 6 σελ. 70.

ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον, καὶ καλῶς διοικούμενον ὡς μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτά | του πατριαρχικοῦ ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου, ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ οἱ ἀρχιερεῖς, οὕτω καὶ αὐτός, γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χ(ριστο)ῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκού | σης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι. τρίτον διαφυλάττονται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδικι τῆς μεγάλης ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη, καὶ τὸ τοῦ ἡγουμένου | ὄνομα. τέταρτον δέ, τὸ σιγγίλιον αὐτοῦ ἔχῃ μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενον ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς. πέμπτον, μηδεὶς τοῦ λοιποῦ γίγνηται ἐν αὐτῷ ἡγούμενος, ἄνευ γράμματος | πατριαρχικοῦ καὶ συνοδικοῦ, ἀλλ' ἐπειδὰν ἕλωνται αὐτὸν γνώμῃ κοινῇ οἱ συγκοινοβιάται π(ατέ)ρες, τότε ἀποστέλληται παρ' αὐτῶν κοινὴ ἐνυπόγραφος καὶ ἐσφράγιστος ἀναφορὰ περὶ τῆς τοιαύτης ἐκλογῆς πρὸς τὸν κατὰ καιροὺς οἰκουμενικὸν | πατριάρχην, καὶ οὕτω δι' ἐκκλησιαστικοῦ γράμματος ἀποκαθίσταται ὁ ἡγούμενος τοῦ μοναστηρίου τούτου, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδικι, ὀφείλων κατ' ἔτος ἐξαποστέλλειν ἀκριβῆ ἐννυπόγραφον καὶ ἐσφράγιστον | καταγραφὴν τῶν τοῦ ἔτους ἐκείνου μοναστηριακῶν ἐσόδων καὶ ἐξόδων. ἕκτον, ἡ σφραγὶς τοῦ μοναστηρίου διαιρεθῇ εἰς τμήματα τέσσαρα, καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα | τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν π(ατέρ)ων. ἕβδομον, οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβήν, μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστη | ριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτωτέρων ἐν τοῖς συγκοινοβιάταις, ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν. αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι, νομίζωνται μὴ τοῦ | μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφραγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας. οὗτοι δὲ δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς | σφραγίδος τμήματα ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας, ἐπιτιμᾶν, σωφρονίζειν, ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας, καὶ τοὺς ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως, καὶ μὴ πειθομένους τελευταῖον | διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ. ὄγδοον, μηδεὶς τοῦ μοναστηρίου τούτου δύναται τοῦ λοιποῦ πωλεῖν μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς | κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτῶν χρείας. ἔννατον, ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστή | ριον, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὴν μετὰ πάσης τῆς κανονικῆς

*παρατηρήσεως. δέκατον δὲ καὶ τελευταῖον, ὀφείλωσιν οἱ ἐν αὐτῷ συνα | σκούμενοι π(ατέ)ρες φυλάττειν τὰ ἐν τῷ παρόντι ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντός, καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως, κατὰ τὸν τύπον τοῦ μοναστικοῦ ἐπαγγέλ- | ματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτῶν, καὶ τὴν κατὰ Θεὸν διαγωγὴν καὶ πολιτείαν, καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ μοναστηρίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς | ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων, καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον. ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν ἱε | ρωμένος ἢ λαϊκὸς ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσει παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα, καὶ ἀνατρέψαι τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη, | καὶ κατηραμένος, καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος, καὶ πάσαις ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος, καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν | ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν συγγιλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν καὶ ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, τῷ ἐπ' αὐτῷ τούτῳ | διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον. ἐν ἔτει σωτηρίῳ, χιλιοστῷ, ἑπτακοσιοστῷ, ἐννενηκοστῷ, ὀγδόῳ, κατὰ μῆνα φευρουάριον, ἐπὶ νεμήσεως πρώτης.*

***† Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.***

*† ὁ Ἐφέσου Σαμουὴλ*
*† ὁ Ἡρακλείας Μελέτιος*
*† ὁ Κυζίκου Ἰωακεὶμ*
*† ὁ Νικομηδείας Ἀθανάσιος*
*† ὁ Θεσσαλονίκης Γεράσιμος*
*† ὁ Χαλκηδόνος Ἱερεμίας*
*† ὁ Δέρκων Μακάριος*
*† ὁ Παροναξίας Νεόφυτος*
*† ὁ Προύσσης Ἄνθιμος*
*† ὁ Νεοκαισαρείας Ἠσαΐας*
*† ὁ Λαρίσσης Διονύσιος*

## 3. ***Συνοδικὸν γράμμα τοῦ*** *1776*

Παραθέτομεν τὸ κάτωθι συνοδικὸν γράμμα, τοῦ ὁποίου ἀντίγραφον ἀπαντῶμεν εἰς τὴν σελ. 41 τοῦ κώδικος τῆς ἐπισκοπῆς Σερβίων τοῦ 1768 [1]) καὶ τὸ ὁποῖον ἀναφέρεται, ὡς καὶ τὸ ὑπ' ἀριθ. 1 ἀνωτέρω σιγίλλιον τοῦ Διονυσίου, εἰς τὴν Μονὴν τῶν Ἁγίων Θεοδώρων.

---

1. Βλ. Α. ΣΙΓΑΛΑ, Ἀρχεῖα καὶ Βιβλιοθῆκαι Δυτ. Μακεδονίας σελ. 98.

*Ἴσον τοῦ πατριαρχικοῦ συνοδικοῦ γράμματος περὶ τῶν μοναστηριακῶν πραγμάτων τῶν ἐν ἁγίοις Θεοδώρων ἄνωθεν τῆς πολιτείας Σερβίων.*

Σωφρόνιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ οἰκουμενικὸς Πατριάρχης:

*† Θεοφιλέστατε ἐπίσκοπε Σερβίων καὶ Κοζάνης, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, καὶ ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, καὶ γέροντες χρήσιμοι, καὶ προεστῶτες τῆς ἐπαρχίας ταύτης, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Ἐπειδὴ ἀνηνέχθη ἡμῖν, καὶ ἐδηλοποιήθη παρὰ τῆς σῆς θεοφιλίας, ὅτι τινὲς κακότροποι χριστιανοὶ τῆς πολιτείας Σερβίων καὶ τοῦ χωρίου Κάλιανη*[1] *λεγομένου, ἀπ' ἐναντίως φερόμενοι, τοῦ τε προεκδοθέντος ἡμετέρου πατριαρχικοῦ, καὶ συνοδικοῦ γράμματος, καὶ τοῦ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ, παρεμποδίζουσι τὴν σὴν θεοφιλίαν ἐκ τῆς περιλαβῆς τῶν κινητῶν, καὶ ἀκινήτων πραγμάτων, τῶν κατὰ τὴν πολιτείαν Σερβίων ἐρημωθέντων καὶ τέλεον ἀφανισθέντων δύω μοναστηρίων, καὶ τῷ τρόπῳ τούτῳ γίνονται παραίτιοι σκανδάλου, ἐπιφέροντες οὐ τὴν τυχοῦσαν ζημίαν πρὸς τὴν θεοφιλίαν σου. τούτου χάριν κατὰ τῶν τοιούτων ἐδέησε τὸ παρὸν ἡμέτερον ἐκκλησιαστικὸν ἐπιτίμιον. καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων τῶν ἐν ἁγίω πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὅσοι καὶ ὁποῖοι τῶν χριστιανῶν τῆς πολιτείας Σερβίων, καὶ τοῦ χωρίου Κάλιανη λεγομένου, μικροὶ ἢ μεγάλοι, νέοι ἢ γέροντες, ἄνδρες ἢ γυναῖκες, ἱερωμένοι ἢ λαϊκοὶ ἀπ' ἐναντίως φερόμενοι, τοῦ τε προεκδοθέντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος, καὶ τοῦ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ, παρεμποδίζουσι τὴν θεοφιλίαν σου ἀπὸ τῆς περιλαβῆς τῶν μοναστηριακῶν πραγμάτων κατὰ πάντα δίκαιον λόγον ἀνηκόντων σοι, ἂν μὴ ἅμα τὸ ἰδεῖν καὶ ἀκοῦσαι καὶ τὸ παρὸν ἡμέτερον τῆς ἐκκλησίας τοῦ δικαίου ἀποφάσεως γράμμα ἀποστῶσι τοῦ τοιούτου αὐτῶν παραλόγου ἐπιχειρήματος, ἀλλὰ φαινόμενοι ἀπειθεῖς, καὶ παρήκοοι καὶ τῆς ἐκκλησιαστικῆς ταύτης καὶ δικαίας ἀποφάσεως, παρακούσωσιν ὡς προφανῶς φιλάδικοι καὶ ἀνυπότακτοι, κακοκέφαλοί τε, καὶ σκληροτράχηλοι, καὶ διεστραμμένοι ἀφωρισμένοι εἴησαν, καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι, καὶ μετὰ θάνατον ἄλυτοι, αἱ πέτραι καὶ ὁ σίδηρος λυθείησαν, αὐτοὶ δὲ οὐδαμῶς, κληρονομήσειεν τὴν λέπραν τοῦ Γιεζέ, καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα, καὶ προκοπὴν οὐ μὴ ἴδοιεν, ἔχοντες καὶ τὰς ἀρὰς πάντων τῶν ἀπ' αἰῶνος ἁγίων, ἐξ ἀποφάσεως:*

---

1. Νῦν χωρίον ΑΙΑΝΗ. Βλ. Μ. Δήμητσα, Ἡ Μακεδονία ἐν λίθοις φθεγγομένοις καὶ μνημείοις σωζομένοις, τόμ. Α' σελ. 219 καὶ ἑξῆς.

*Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ κατὰ μῆνα Ἀπρίλλιον.*

*Ἐν μηνὶ Ἀπριλλίῳ Ἰνδικτιῶνος Θ΄*

| | |
|---|---|
| *† ὁ Ἐφέσου Μελέτιος* | *† ὁ Χαλκηδόνος Παρθένιος* |
| *† ὁ Νικαίας Ἄνθιμος* | *† ὁ Κρήτης Ζαχαρίας* |
| *† ὁ Θεσσαλονίκης Δαμασκηνὸς* | *† ὁ Νικομηδείας Νικηφόρος* |
| *† ὁ Σηλυβρίας Παρθένιος* | *† ὁ Λέρκων Ἀνανίας* |
| *† ὁ Ἡρακλείας Μεθόδιος* | *† ὁ Σερρῶν Ἀγάπιος* |

## Σημείωσις

Εἰς τὴν ἀρχὴν ἐντύπου Εὐαγγελίου ἐκδ. Βενετίας τοῦ 1539, ἐναποκειμένου σήμερον εἰς τὴν Δημοτικὴν Βιβλιοθήκην τῆς Κοζάνης, ὑπάρχει ἡ ἑξῆς ἐνθύμησις τοῦ 1834:

*† τὸ θίον καὶ ιερὸν εὐαγγέλιον ὑπάρχι ἐκ τῆς μονοῖς των ἁγίων Θεωδόρων τῆς ἐπονομαζομένης τοῦ σιδέρι καὶ ἐδέθι δια χιρὸς γαβριὴλ ιερομονάχου βατοπεδινοῦ ὁ ἐκ θεταλίας ἐκ χορίων βελεστιλῆς* (ἡ τελευταία λέξις δυσανάγνωστος).

Ἐπὶ δὲ τῆς ὀπισθείας πλευρᾶς τοῦ τελευταίου φύλλου ὑπάρχει δι᾽ ἐρυθρᾶς μελάνης ἡ ἑξῆς ἐνθύμησις:

*͵Ζξδ*

*† τὸ θεῖον καὶ ἅγιον εὐαγγέλιον τοῦτω· ὑπάρχει τῆς μονῆς τῆς ὑπεραγίας θεοτόκου, τῆς ἐπικαλουμένης νέας μονῆς, τῆς ὂν εἰς τὰ σέρβια. πλησίον τοῦ φάραγγος, ἐν τῷ ἄνω μέρει αὐτοῦ. καὶ εἴ τις βουληθῆ. ὑστερῆσαι αὐτὸ ἐκ τὴν τοιαύτην μονήν, νὰ ἔχει τὰς ἀρὰς τῶν τριακοσίων ιη΄ θεοφόρων π(ατέ)ρων ἡμῶν· καὶ αὐτὴν τὴν ὑπεραγίαν θ(εοτό)κον εὑρεῖν ἀντίδικον, ἐν τῇ δευτέρᾳ ἐπελεύσει τοῦ υἱοῦ αὐτῆς.*

*͵Ζξδ*

Ἐπίσης εἰς τὸ ἐν ἀρχῇ παράφυλλον παλαιᾶς ἐκδόσεως Παρακλητικῆς, ἄνευ ἀρχῆς καὶ τέλους, ὑπάρχει ἡ ἑξῆς ἐνθύμησις τοῦ 1715:

-ω

͵ᾱ ψ ῑ ε΄

*† κτῆμα πέφυκεν τῆς μονῆς τῶν κανονικῶν, ἡ παροῦσα βίβλος, τῶν ἁγίων ἐνδόξων μεγάλων μαρτύρων Θεοδώρων, τῷ κάτω κοινοβίῳ· ἐδέθη δὲ καὶ τοῦτο σὺν τοῖς ἄλλοις, διὰ χειρὸς Νεοφύτου οἰκτροῦ ἱερομονάχου, οἱ βουλόμενοι δὲ ταύτην συλλήσε τῆς μονῆς αὐτῶν, εἴη ὑπόδικοι καὶ συνγκάθε-*

*δροι τῷ πατρὶ αὐτῶν 'Ιούδᾳ, ὡς συνήγοροι καὶ ἑπόμενοι ἐκείνου. ἔχοιεν καὶ ταῖς ἀραῖς τῶν θεοφόρων ¦ πατέρων.*

'Υπὸ τῆς αὐτῆς χειρός :

*† οἱ ἀρχηγοὶ τῆς αὐτῆς θείας καὶ ἱερᾶς μονῆς, ἐκ τοῦ οἴνου ὀλίγον ἀπέχησθε, ἵνα οὗ ὑμῖν γένηται.*

## 4. *Πατριάρχου Σεραφεὶμ γράμμα πρὸς Εὐγένιον τὸν Βούλγαριν*

Παραθέτομεν ἐνταῦθα καὶ ἕτερον πατριαρχικὸν γράμμα τοῦ ἔτους 1761, τὸ ὁποῖον συναντῶμεν ἀντιγεγραμμένον εἰς τὴν σελ. 10 τοῦ τεμαχίου 3 τοῦ ὑπ' ἀριθ. 6 χ)φου Κοζάνης καὶ εἰς τὸ φ. 239$^{v}$ — 240$^{v}$ τοῦ ὑπ' ἀριθ. 66 χ)φου Κοζάνης [1]. 'Ο ἀντιγραφεὺς τοῦ χ)φου 6 φαίνεται ἀκριβέστερος, παρέλαβε δέ, ἐκτὸς τῆς ἡμερομηνίας, καὶ τὴν ὑπογραφὴν τοῦ Πατριάρχου Σεραφεὶμ καὶ τὰ ὀνόματα τῶν συνοδικῶν ἀρχιερέων. 'Ο ἀντιγραφεὺς τοῦ χ)φου 66 προσπαθεῖ νὰ ἀπομιμηθῇ τὸ ἐπίγραμμα τοῦ πρωτοτύπου.

Διὰ τοῦ γράμματος τούτου ἀναγγέλλει ὁ Πατριάρχης Σεραφεὶμ τὴν λῆψιν πονήματος τοῦ Βουλγάρεως, τὸν βεβαιοῖ ὅτι τὸ ἀνέγνωσε καὶ τὸν συγχαίρει.

† Σεραφεὶμ ἐλέῳ θεοῦ 'Αρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

*'Οσιώτατε ἐν ἱεροδιακόνοις, καὶ διδάσκαλε σοφολογιώτατε τῆς καθ' ἡμᾶς πατριαρχικῆς σχολῆς κὺρ Εὐγένιε, τέκνον ἐν κῷ ἀγαπητὸν τῆς ἡμῶν μετριότητος, χάρις εἴη σοι καὶ εἰρήνη παρὰ Θεοῦ καὶ παρ' ἡμῶν εὐχή, εὐλογία, καὶ συγχώρησις. Εἰ τῶν δικαιοτάτων καθέστηκε τοὺς περί τι πονήσαντας γεναῖον, καὶ τούτων δὲ τῶν ἐπικαίρων καὶ χαμαὶ ἐρχομένων, τιμῶν τε τῶν προσηκουσῶν, καὶ ἐπαίνων τῶν ἐφαρμοζόντων, τοῖς προκαθημένοις ἐπαξιοῦσθαι, ἵνα τότε εὔγνωμον τούτων ἀναφανῇ, καὶ τὸ πρόθυμον ἐκείνων ἐς ἀεὶ ἀκμάζον, ἐπὶ τὰ πρόσω χωρεῖν ἔχῃ, μειούμενον μὲν μηδέ ποτε, αὖξον δὲ ἀείποτε, οἱονεί τινι ὕδατι ἐκείνοις ἀρδευόμενον, πολλῷ γε μᾶλλον ἐνδίκῃ τούς, ὅσοι πνευματικόν τε ἤ τι εἰργάσαντο, ἢ ἄλλους δι' ὧν εἶπον, καὶ τοῖς μετ' αὐτοὺς γράψαντες ἐπαφῆκαν ἐργάζεσθαι μυουμένοις παρώτρυναν, διδάσκαλον ἀκάματον αὐτοῖς μέχρις αἰῶνος δυσμῶν τοὺς λόγους καταλιπόντες καὶ τοσούτῳ*

7 *ἐπικοίρων* χ)φ 66. 9 *εὔγνομεν* χ)φ 66. 9 *τούτου* χ)φ 66. 12 *ἤ τι]ἤτοι* χ)φα.

1. Πρβλ. Α. ΣΙΓΑΛΑ, 'Αρχεῖα καὶ Βιβλιοθῆκαι Δυτικῆς Μακεδονίας σελ. 35-36 καὶ σελ. 13 χ)φον 6.

*πλέον, ὅσῳ καὶ ταῦτα ἐκείνων προέχεται καὶ προτέτακται. Εὔθεντος δεξαμένη καὶ ἡ μετριότης ἡμῶν τὸ περὶ τῶν τοῖς θεοφωτοθεῖσιν ἐπαπορουμένοις πόνοις ἀτρύτοις πονηθέν σοι καὶ πρὸς αὐτὴν προπονηθέν, καὶ τοῦτο ἐπιμελῶς καὶ ἐσκεμμένως διαγνοῦσα, καὶ ἀκριβῶς ἐπιγνοῦσα, ἐκ κέντρου ψυχῆς ἀντιδίδοσί σοι, καὶ ἀντιβραβεύεται τὴν παρὰ τοῦ πρς, υἱοῦ τε καὶ πνς ἁγίου χάριν καὶ εὐλογίαν, βραβεῖον εἰς ἀεὶ διαμένον, καὶ ὁποιουδέποτ' ἂν ἄλλου, ἀνώτερόν τε καὶ ὑπερκείμενον, ἐπιφωνοῦσα δέ σοι καὶ τὸ Κυριακόν : εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ περισσοτέρων σε καταστήσω, προσεπεύχεται, ἵνα ἐπὶ τοιαύταις τὸ πλεῖστον αἰτίαις τὸν καλὸν τοῦτον ζῆλον ζηλεύσῃς καὶ περὶ τοιαύτας πραγματείας τὸ πλέον τῶν ἱδρώτων σου καταβάλῃς, σκύδρομον λαμβάνων καὶ ἀρωγόν, τὸν τὰ ἐννενήκοντα ἐννέα καταλιμπάνοντα, καὶ περὶ τὴν εὕρεσιν τοῦ πλανωμένου ἐνασχολούμενον. οὗτινος τε καὶ ἤδη ἡ εἰς τὴν πατρικὴν γνησίαν ἀγέλην ἐπιστροφή, ἄρρητον ἡμῖν χαρὰν κοινῇ ἐνέσταξεν, ἀνεωγμέναις ἀγκάλαις αὐτὸν ὑποδεξαμένοις ἐκλιπαροῦμεν δὲ τὸν φωτίσαντα ἅγιον Θεόν, ἵνα αὐτόν τε καὶ τοὺς μετ' αὐτοῦ διαφυλάξῃ τε ἀμεταθέτους καὶ ἀκλονήτους ἐπὶ τῇ τῆς ἀνατολικῆς, καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας ὁμολογίᾳ, ἐλλάμψῃ δὲ καὶ πλήθεσιν ὅλοις, καὶ γένεσι τούτοις συναριθμηθῆναι, ἵνα ἐν μιᾷ ὁμολογίᾳ δοξάζηται τὸ πανάγιον αὐτοῦ ὄνομα, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος, καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ σοῦ. ͵αψξα·:*

*Ἐν μηνὶ φευρουαρίῳ 8, ἰνδικτιῶνος θ.*

***† Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χ(ριστ)ῷ εὐχέτης***

*† ὁ Ἡρακλείας Γεράσιμος καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Νικαίας Ἱερεμίας καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Ἀδριανουπόλεως Διονύσιος καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Μητυλίνης Ἄνθιμος καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Σοφίας Ἱερεμίας καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Προικονήσου Νικηφόρος καὶ ἐν Χῷ εὐχέτης*

***( δευτέρα στήλη )***

*† ὁ Νικομηδείας Γαβριὴλ καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Δέρκων Σαμουὴλ καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Σερρῶν Ἰωαννίκιος καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Μεσημβρίας Ἄνθιμος καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Βάρνης Καλλίνικος καὶ ἐν Χῷ εὐχέτης*
*† ὁ Φερσάλων Δωρόθεος καὶ ἐν Χῷ εὐχέτης.*

Κοζάνη, Σεπτέμβριος 1939 ΝΙΚ. Π. ΔΕΛΙΑΛΗΣ

---

15 *ὅσῳ]ὅποι* χ)φ 66. 15 *προέχετε* χ)φ 6 καὶ 66. 17 *προπονηθὲν]προφονηθὲν* γ)φα. 19 *χάριν]εὐχὴν* χ)φ 66. 20 *ὁποιουδέποτ-οὖν* χ)φ 66. 23 *τοιαύτης* χ)φ 66. 26 *οὗτος τε* χ)φ 66. 28 *μετ' αὐτὸν* χ)φ 66. 34 *ἰνδικτιῶνος θ παραλείπει* χ)φ 6. 35 *κέξῆς παραλείπει* χ)φ 66.